καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

Ψαλμὸς τῷ Δαβίδ. β'.

Ἱνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ
ἐμελέτησαν κενά.
Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς,
καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό,
κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.
Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ
ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.
Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται
αὐτούς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς.
Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ,
καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.
Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ
ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλ-
λων τὸ πρόσταγμα κυρίου.
Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ,
ἐγὼ σήμερον γεγέννηκά σε.
Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν
κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου
τὰ πέρατα τῆς γῆς.
Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ,

http://digital.slub-dresden.de/ppn346241804/22